Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-142249-p0001-6

Ms. 1297

A. F.

k

2197. b

F. A. v. Maaß
1831 oho

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-142249-p0002-2

# CARMEN DE HALCYONE, IN QVA DEPINGITVR PVLCHERRIMA IMAGO ECCLESIÆ, SCRIPTVM

A

M. BVSSONE MATZELIO Vuistochiensi.

ADDITA EST ET ELEGIA, CONtinens precationem pro Ecclesia, ab eodem scripta.

VITEBERGÆ

EXCVDEBAT LAVRENTIVS SCHVENCK.

M. D. LXIII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-142249-p0003-8

# Clarissimo & integerrimo VIRO, D. MELCHIORI KLING I. V. DOCTORI CELEBERRIMO ILLVSTRISS. AC Reuerendiss. Archiep. Magdeb. Consiliario &c. Mecœnati suo obseruando

S. D.

NAte Dei cœlum linquens terrena petisti,
Ex mera placans & bonitate Patrem.
Debilis ut patri sic esset massa redempta,
Præda truci Satanæ nec caro nostra foret.
Et quo longæuos Ecclesia staret in annos,
Ornauit multis hanc & imaginibus.
Clare uir, ingenuas ac usu culte per artes,
Hæc tua mens melius cernere cuncta potest.
Rebus in his etenim fundamina ritè locasti,
Deinde tibi curæ Graïa Musa fuit.
Posthæc uoluisti sinuosa uolumina iuris,
Nomina magna satis quæ peperere tibi.
Nam tua difficiles nodos facundia uicit,
Decernens quæ lex cum pietate probat.
Hinc in Teuconicis es iam celeberrimus oris,
Req; simul multos, consilioq; iuuas.
Hinc potes ingenio decus immortale mereri,
Nomen & à tota posteritate feres.
Cum tua commendet dulces prudentia Musas,
Quæ sunt doctorum gloria magna uirûm:
Hæc igitur relegas operosæ dona Mineruæ,
Dextrè conatus atq; probato meos.
Sed tibi contribuat cœlestia dona benignè
Qui solo nutu cuncta creata mouet.

T. Excellentiæ. addictiss:

M. Busso Matzelius

Παντοκράτωρ θεὸς οὐράνιος θνητῶν βασιλεύων
εἰκόνας ἐν κήποις θῆκεν πολλάς τε καὶ ἐσθλάς,
τὰς ἰδίας νύμφης χριστοῦ ἧς δὴ ἐπισκέψαι
τοὺς μὲν ἐπιχθονίους ἔθελε καὶ φραζέμεν ἄνδρας.
Πρῶτον μὲν γ᾽ ὄνειας ἔχει φύσιν Ἀλκυόνων δὴ
γνῶναι, καὶ τῶν εἰκόνας ἀτρεκέως ὑποθέσθαι.
τοὔνεκα τῶν θείων ἔργων μελέτην ἐχέμεν χρὴ
ἀνθρώπους μέροπας, ναίοντας ἀπείρονα γαῖαν;
Εἰσὶ μὲν ἀλκυόνες καλαὶ ὄρνιθες (καθὰ φαντὶ)
αἳ καλιὰς ποιοῦσιν ἑὰς ἐνὶ οἴνοπι πόντῳ,
χείματι δ᾽ ἐν μέσσῳ, πύκνα βορέαο πεσόντος,
ὥστε θερμαίνουσιν, ἐπ᾽ αὐτοῖς ἠδὲ κάθηνται,
ἤματι χειμερίῳ, καὶ ἀπέλλουσιν δ᾽ ἑὰ τέκνα.
τὸν δ᾽ αὐτὸν καιρόν, κατὰ ὃν δὴ ταῦτα γίνονται,
νηνεμίη ἐν πόντῳ ἅμα δὶς διὰ ἤματα ἑπτὰ
ἐστίν, ὅπως μὴ πορφυρέοισιν ἐν ὕδασιν ὄλωνται,
πολλῇ ἐν ἡσυχίῃ μίμνουσι, τε νῶτα θαλάσσης
ξενίζουσι καὶ ὄρνιθας διὰ ἤματα πολλά.
Ἀλλὰ καὶ ὄρνεα ταῦτα ὁμοῦ περικαλλέα ἐστὶ
τὰρ τὸ δὲ τῆς νύμφης χριστοῦ τοῦ κοιράνου εἰκὼν
ἐστίν, ἐπεὶ καλλίστη ἔφυ διὰ νυμφίον αὐτῆς
μικρὴν καὶ ποιεῖ νοσιὰν μετὰ κύμασι δεινοῖς
ὥστε μὲν σωυβρείδει, καὶ νεοσσοὺς ἢ ἐλαώει,
συμμίκτοις τρέφεται κὲν τοὺς καὶ ἐδέσμασι πολλοῖς.
Ἄλς τοι μὴ πιστόν, γ᾽ ἀσεβής, δὴ ἐστὶ ὁ κόσμος,
ἐστὶ ὁ ἀρχεκάκου σατανᾶς βασιλεία, καὶ οἶκος
ἡμῶν ἀντίδικος, πᾶσιν τε καὶ ἄλγεα λυγρὰ
τεύχει, μὲν κακοδαίμων ὕβριος ἐστὶ καὶ ἄτης
αἴτιος,

αἴτιος, ἀνθρώπων τ' ἐχθρός, σκόπεός τε καὶ ἄρχων.
τῷ δὲ μὲν ἐν κόσμῳ σκηνὴ θεοῦ οἶκον ἔχει τε,
πολλὰ ἐφ' ὕδασιν ἢ διὰ κύματος ἔνθα καὶ ἔνθα
πάχει, καὶ νῦ σάλῳ ἄγεται πολλοῖσι διαύλοις,
πετρῶν ἠλιβάτων ὑπὸ ἠδὲ σαλεύεται αὐτή.

Καὶ γὰρ ἂν ὡς κινδυνεύει τοῖς πράγμασι αἰὲν
ναὸς τοι χριστοῦ, τοι δ' οὖν μὴν οὔτ' ἀπολεῖται:
ἀλλὰ μὲν ἡσυχίη, κε γαλήνη ἐν ἐστὶ θαλάσσῃ.
ἔμμορε νηνεμίας πολλοῖς πόντος μεγακήτης,
εἰσόκεν Ἀλκυόνες δ' ἔτικον νεοσσοὺς μὲν ἑαυτούς,
τοὺς θρέψαντο δέ καὶ βροτοῖσι τ' ἐπωφελίμοισι.

Ταῦτα ἔχουσιν ἀληθῶς μὲν τεκμήρια τοῖα:
ἐστὶ θεὸς δ' οὐ δηλήμων, ἀλλ' ἀτρεκέως ἐλεήμων,
ὅστε πατὴρ ἀγαθὸς, καὶ φείδεται ἀσεβέοντε,
εἰρήνην ἕνεκ' ἐκλεκτῶν καὶ τοῖσι δίδωσι.
βούλεται ἄρ θνητοὺς τε σόους καὶ μὴ ἀπολέσθαι.

Πολλὰ μὲν ἀλλ' ἄθεοι ποιοῦσιν ὑπέρφρονι θυμῷ:
οὐ γὰρ δὴ νοέουσι δίκην θεοῦ, οὔτε νόμον τε,
οὐδέ τι τῶν θείων ἀμέλειαν ἔχουσι προσευχῶν.
τλήμονες οἳ τελέουσ' αὐθαίρετα πήματα, ἠδὲ
ἄσυλα ῥέζουσιν, γε θεοῦ δ' ὄπιν οὐκ ἀλέγοντες,
μηδεμίαν μέμφονται ἁμαρτωλοὶ οἱ μετάνοιαν
οὕνεκα τοῖσι χολωσάμενος, μέγα πένθος ὀήσει,
λυγρὰ θεὸς, καὶ ἄμβροτα μήδεα εἰδώς,
μήσεται, ὅστε κακοὺς καύσει πυρὶ λαμπεσόωντι.

Ἀλλ' ἔμπης τοῖς μή τι μέμηλε ἀτάσθαλα ἔργα,
Μήποτ' ἐπισταμένως τε παρεκβαίνουσι δικαίου,
δώσει τοῖς ἀγαθοῖς χριστὸς βίον ἄφθορον αἰὲν,

ἠΰτε μὲν φοίνιξ πρὸς κυρίου οἵδε δίκαιοι
ἀνθήσουσι, ὀπίσω οἱ ἄρ δ' ἕξουσι γε δόξαν,
οὐδὲ κρατήσουσιν παράδεισον δ' ἤματα πάντα.
ΤΑῦτ' οὕτως μὲν δ' εὐθὺ βάλωμεν γ' ἐν φρεσὶν ἡμῖν
καὶ τὰ νοήσαντες χ' ὁπόταν δ' ἀνέμων τε θύελλη
καὶ μῦθος, Αλκυόνων καλιὰς κλύζειν ἐθέλουσι.
ἡνίκα τοὺς ἀσεβεῖς βαιὸν θάλλειν ἐσορῶμεν,
οἵ συγγενοῦς ἐσθλοὺς, ἐλλέουσί τε σχέτλια ἔργα:
τηνίκα καρπαλίμως μαυροῖ θεὸς ἂρ κακοέργους,
καὶ τοὺς εὐχείλους αἰώνιον εἰς σκότος αὖ περ
ἐκβάλλει, ὡς πᾶσα ὑπερβασίη δ' ἀλεεινή.
Εςὶ φύσις τε καὶ Αλκυόνων: ἑτέρου γε θανόντος
ἄψ ἕτερον τρύχει φίλον ἦτορ ἕως ἀπεπνεύει.
πρὸς τὰ δὲ τερπνότατον γνῶναι καὶ τοῦτο ἔσηται,
οὐχ ὁπόταν δύναται ἄρσην πτερὰ καλὰ πετᾶσθαι,
γῆρας τ' οὐλόμενον τε καὶ αὐτίκα θῆλυ δὲ πάρεστι,
γηράσκοντα πόσιν νώτοισι φέρει γε πρὸς ὕδωρ,
ἡ θῆλυς, καὶ ἔπειτα ἐν οἴκῳ τὸν δὲ τίθησι.
Ως γὰρ ἄγει ἄλοχος τὸν ἀνέρα γλυκὺ παρὰ ὕδωρ
οὕτως κηρύκεσσι θεοῦ ἡμᾶς τε δίδαξαι
καθολικὴ δῶται τε καὶ ἅρμενα πάντα παρέχει.
ταῦτα ποιήσαντες, ἕξουσι μὲν ἀγλαὰ δῶρα,
εἰρήνη, γε χάρις τε θεοῦ τότε τοῖσιν ὀπηδεῖ.
ἀλλ' ἀχαρίστους καὶ μεγάλη ποινὴ κατοπάζει.
καὶ δ' ἀσεβεῖς τοὺς κυκλώσει ἔρεβός τε, σκότος τε.

ELEGIA

# ELEGIA EIVSDEM,

## continens precationem pro Ecclesia.

Ὦ πάτερ ὢν ἀπαθὴς ὃς ὑπέρτατα δώματα ναίεις
    πάντα μόνος τελέσας τῷ ἔπει ἀϊδίῳ.
ἡμῶν κλῦθι, καὶ ἐσθλὰ δίδου διὰ χριστὸν ἰησοῦν,
    υἱέα ἐκλεκτὸν, μουνογενῆ τεόν.
κύμασ᾽ ἀπειρεσίοις γὰρ ναὸς σεῖο παλαίει,
    πολλὰ δὲ καὶ πάσχει ἄλγεα λυγρὰ μάλα.
εὐθὺ τὸ ἔθνος σοῦ ῥοθίοις καταδύσεται ὄντως,
    εἰ σύ γε, μὴ ἔλθῃς, καὶ ἐπαρωγὸς ἔῃς.
ἀλλ᾽ ἡμῖν πάντως γνωτόν τε θεοῖο θέλημα,
    γνωτὰ δὲ καὶ θείου ῥήματά εἰσι λόγου.
οὔτε τεὸν νόον ἀλλάττεις, ἀλλ᾽ ἐσσὶ δίκαιος,
    ἠδ᾽ ἁγνὸς, τοίους αὐτὸς ἀεὶ φιλέεις.
οὐχ᾽ ἕτερον βάζεις, ἕτερον καὶ ἐνὶ φρεσὶ κεύθεις,
    ἀλλὰ ἀλήθειαν παντάπασιν δ᾽ ἀγαπᾷς.
χριστὲ θεοῦ τέκνον τὸν κόσμον πάντα κυβερνῶν,
    ἐκ γαίης πλάσας τῶν μερόπων τε γένος.
δῷς, ἵνα κοινώνημα ἔῃσιν ὅλον κατὰ κόσμον
    τῆς διδαχῆς κείνης, ἣν βροτέοισιν ἔδως.
τοὔνομα καὶ πιστὸς κήρυξ γε διδάσκῃ ἄχραντον,
    τιμάσθω καθαρῶς καὶ τόδ᾽ ἕκαστος ἀνήρ.
εἶτα δὲ ποιήσῃς μυστήρια χριστὲ τελεῖσθαι
    πρὸς τὸ δέχεσθαι ἡμᾶς σῶμα καὶ αἷμα τεόν.
ἡμᾶς χρὴ ἱερῷ μυστηρίῳ ὧδε πιθέσθαι,
    καὶ φρεσὶν ἐνθέσθαι τὴν περὶ ῥῆμα θεοῦ,

εἰσὶ

Εἰσὶ γὰρ αὖ γε νόου θείου ψευδίσματα ταῦτα,
μηδ' εὐαγγέλιον θάτερα δὴ φρονέει:
ταῦτ' ἔρδων καλῶς τεκταίνει νηὸν ἰησοῦ,
πιστεύων κατὰ τὴν πίστιν ἀποστολικήν.
πάντη ὁμῶς κακὰ σκάνδαλα ἐξαλέασθαι ἄνωγε
ἀθάνατός τε πατὴρ, οὐρανὸν εὐρὺν ἔχων.
σχίσματα πᾶσι πρέπει φεύγειν ὡς δεινὸν ὄραμα,
ῥήματα τοῦ ἀϊδίου τοῦ θεοῦ ἀμφαγαπᾶν.
πῆμα φέρουσι τὰ ψευδολόγων πάντως βροτολοιγόν,
εἴς τε τέλος κείνους μοῖρα μέλαινα κρατεῖ.
Εὐχόμεθ' οὖν πατρὶ καὶ υἱῷ, σὺν πνεύματι ἀληθεῖ,
τῶν χάρις ἐστὶ μία, ἠδὲ μία δύναμις.
σῶζε σοι ἐκλεκτὸν καθάπερ δὴ εἶπας ὅμιλον,
ἠδὲ τῆς ἀγέλης πάντ' ἀπέλαυνε φόβον.
ἡμᾶς χριστὲ κακῶν ἔργων παύσειας ἅπαντας,
φῶς καὶ ἀληθείας οὐκ ἀνέλεσθ' ἐθέλης,
Εἰρήνην δὸς χριστιάδαις γαῖαν κατὰ πᾶσαν
σὺν πολέμῳ δ' ἔριν καὶ ἀπόπεμπε κακήν.
τοὔνομα σεῖο τότ' εὐθύμως ἀείσομεν αἰὲν,
ψάλλοντές τε καλῶς τοῦ πατέρ' ἡμέτερον.

ΤΕΛΟΣ.

153028

AB: 153028

ULB Halle 3
003 486 044

8b

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-142249-p0011-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-142249-p0012-8

# CARMEN DE HALCYONE, IN QVA DEPINGITVR PVLCHERRIMA IMAGO ECCLESIÆ, SCRIPTVM

A

M. BVSSONE MATZELIO
*Vuistochiensi.*

ADDITA EST ET ELEGIA, CONtinens precationem pro Ecclesia, ab eodem scripta.

VITEBERGÆ

EXCVDEBAT LAVRENTIVS SCHVENCK.

M. D. LXIII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-142249-p0013-3